γᾶ ποτε Μυκηναίων
δέξεται εὐπατρίδαν, Διὸς εὔφρονι
βήματι μολόντα τάνδε γᾶν Ὀρέσταν.
Ηλ. ὅν γ' ἐγὼ ἀκάματα προσμένουσ' ἄτεκνος,
τάλαιν' ἀνύμφευτος αἰὲν οἰχνῶ,
δάκρυσι μυδαλέα, τὸν ἀνήνυτον
οἶτον ἔχουσα κακῶν· ὁ δὲ λάθεται
ὧν τ' ἔπαθ' ὧν τ' ἐδάη. τί γὰρ οὐκ ἐμοὶ
ἔρχεται ἀγγελίας ἀπατώμενον;
ἀεὶ μὲν γὰρ ποθεῖ,
ποθῶν δ' οὐκ ἀξιοῖ φανῆναι.

Χο. θάρσει μοι, θάρσει, ἀντ.
τέκνον. ἔτι μέγας οὐρανῷ
Ζεύς, ὃς ἐφορᾷ πάντα καὶ κρατύνει·
ᾧ τὸν ὑπεραλγῆ χόλον νέμουσα
μήθ' οἷς ἐχθαίρεις ὑπεράχθεο
μήτ' ἐπιλάθου·
χρόνος γὰρ εὐμαρὴς θεός.
οὔτε γὰρ ὁ τὰν Κρῖσᾳ
βούνομον ἔχων ἀκτὰν
παῖς Ἀγαμεμνονίδας ἀπερίτροπος
οὔθ' ὁ παρὰ τὸν Ἀχέροντα θεὸς ἀνάσσων.
Ηλ. ἀλλ' ἐμὲ μὲν ὁ πολὺς ἀπολέλοιπεν ἤδη
βίοτος ἀνέλπιστος, οὐδ' ἔτ' ἀρκῶ·
ἅτις ἄνευ τεκέων κατατάκομαι,

162 διὸς] ποδὸς Haupt 163 βήματι] σήματι Musgrave 164 ὅν γ' ἐγὼ Hermann: ὃν ἔγωγ' codd. 168 ὁ δὲ λάθεται $L^{c}$ A rec: ὧδ' ἐλάθεται $L^{ac}$: ὁ δ' ἐλάθετο $L^{s}\Delta$ 169 ἔπαθεν $L^{ac}$ rec $\Sigma^{l}$ 173 τέκνον θάρσει Σ (ad v. 823) 174 ἔτι μέγας οὐρανῷ Heath: ἔστι μέγας ἐν οὐρανῷ L (ἔτι $L^{ac}$) A rec Σ (ad v. 823): ἔστι μέγας οὐρανῷ rec: μέγας ἔτ' ἐν οὐρανῷ Hermann 180 Κρίσᾳ Musgrave: Κρίσαν L A rec: Κρίσσαν rec: Κρίσσα Pal: Κρῖσαν Hermann 181 βούνομον $L^{ac}$: βουνόμον $L^{c}$ A rec Suid. s.v. 186 ἀνέλπιστον, quod Σ legisse suspicatur, Nauck 187 τεκέων $\mathrm{Vindob}^{s}$ (coniecerat Meineke): τοκέων cett.